καὶ ποῖα οἱ χαριέστερον λέγοντες, καὶ ἐπὶ ποίων ἐλάχισται ἀπορίαι, δεῖ μὴ λανθάνειν. πάντες γὰρ ἐξ ἐναντίων ποιοῦσι πάντα. οὔτε δὲ τὸ πάντα, οὔτε τὸ ἐξ ἐναντίων ὀρθῶς, οὔτ᾽ ἐν ὅσοις τὰ ἐναντία ὑπάρχει, πῶς ἐκ τῶν ἐναντίων ἔσται, οὐ λέγουσιν. ἀπαθῆ γὰρ τὰ ἐναντία ὑπ᾽ ἀλλήλων. ἡμῖν δὲ λύεται τοῦτο εὐλόγως, τῷ τρίτον τι εἶναι. οἱ δὲ τὸ ἕτερον τῶν ἐναντίων, ὕλην ποιοῦσιν, ὥσπερ οἱ τὸ ἄνισον τῷ ἴσῳ, ἢ τῷ ἑνὶ τὰ πολλά. λύεται δὲ καὶ τοῦτο τὸν αὐτὸν τρόπον. ἡ γὰρ ὕλη ἡ μία οὐδενὶ ἐναντίον. ἔτι ἅπαντα τοῦ φαύλου μεθέξει ἔξω τοῦ ἑνός. τὸ γὰρ κακὸν αὐτὸ, θάτερον τῶν στοιχείων. οἱ δ᾽ ἄλλοι οὐδ᾽ ἀρχὰς τὸ ἀγαθὸν καὶ τὸ κακόν. καίτοι ἐν ἅπασι τὸ ἀγαθὸν μάλιστα ἀρχή. οἱ δὲ τοῦτο μὲν ὀρθῶς, ὅτι ἀρχὴν, ἀλλὰ πῶς τὸ ἀγαθὸν ἀρχὴ, οὐ λέγουσιν, πότερον ὡς τέλος, ἢ ὡς κινῆσαν, ἢ ὡς εἶδος. ἀτόπως δὲ καὶ Ἐμπεδοκλῆς· τὴν γὰρ φιλίαν ποιεῖ τὸ ἀγαθόν. αὕτη δ᾽ ἀρχὴ καὶ ὡς κινοῦσα (συνάγει γὰρ) καὶ ὡς ὕλη· μόριον γὰρ τοῦ μίγματος. εἰ δὴ τῷ αὐτῷ συμβέβηκεν ὡς ὕλῃ καὶ ἀρχῇ εἶναι, καὶ ὡς κινοῦντι. ἀλλά τό γε εἶναι οὐ ταὐτό. κατὰ πότερον οὖν φιλία; ἄτοπον δὲ καὶ τὸ ἄφθαρτον εἶναι τὸ νεῖκος. τοῦτο δ᾽ ἐστὶν αὐτὸ ἡ τοῦ κακοῦ φύσις. Ἀναξαγόρας δὲ ὡς κινοῦν τὸ ἀγαθὸν ἀρχήν. ὁ γὰρ νοῦς κινεῖ, ἀλλὰ κινεῖ ἕνεκά τινος. ὥστε ἕτερον, πλὴν ὡς ἡμεῖς λέγομεν. ἡ γὰρ ἰατρική ἐστί πως ὑγίεια. ἄτοπον δὲ καὶ τὸ ἐναντίον μὴ ποιῆσαι τῷ ἀγαθῷ, καὶ τῷ νῷ. πάντες δ᾽ οἱ τὰ ἐναντία λέγοντες, οὐ χρῶνται τοῖς ἐναντίοις, ἐὰν μὴ ῥαθυμήσῃ τις. καὶ διὰ τί τὰ μὲν φθαρτὰ, τὰ δ᾽ ἄφθαρτα, οὐδεὶς λέγει. πάντα γὰρ τὰ ὄντα ποιοῦσιν ἐκ τῶν αὐτῶν ἀρχῶν. ἔτι οἱ μὲν ἐκ τοῦ μὴ ὄντος ποιοῦσι τὰ ὄντα· οἱ δ᾽, ἵνα μὴ τοῦτο ἀναγκασθῶσιν, ἓν πάντα ποιοῦσιν. ἔτι διὰ τί ἀεὶ ἔσται γένεσις, καὶ τί αἴτιον γενέσεως, οὐδεὶς λέγει. καὶ τοῖς δύο ἀρχὰς ποιοῦσιν, ἄλλην ἀνάγκη ἀρχὴν κυριωτέραν εἶναι· καὶ τοῖς τὰ εἴδη· ὅτι ἄλλη ἀρχὴ κυριωτέρα. διὰ τί γὰρ μετέσχεν ἢ μετέχει; καὶ τοῖς μὲν ἄλλοις ἀνάγκη τῇ σοφίᾳ καὶ τῇ τιμιωτάτῃ ἐπιστήμῃ εἶναί τι ἐναντίον, ἡμῖν δ᾽ οὔ. οὐ γάρ ἐστιν ἐναντίον τῷ πρώτῳ οὐδέν. πάντα γὰρ τὰ ἐναντία ὕλην ἔχει, καὶ δυνάμει ταῦτά ἐστιν. ἡ δὲ ἐναντία ἄγνοια,

A quæve dicunt gratiosius dicentes, ac in quibus minimè dubitationes sunt, non decet nos latere: omnes nanque ex contrariis omnia faciunt. At non rectè id omnia, neque id ex contrariis. Quibus autem contraria insunt, quonam modo ex contrariis erunt, non dicunt: quandoquidem contraria impassibilia sunt ab se inuicem. A nobis autem rationi consentaneè hoc soluitur, cùm aliquid tertium sit.
B Quidam verò alterum contrariorum materiam faciunt, quemadmodum qui inæquale æquali, aut vni multa. Soluitur autem etiam hoc eodem modo: nam materia vna nulli contrarium est. Item cuncta participabunt malo, præter ipsum vnum: alterum nanque elementorum, ipsum malum est. At alij, neque principa, bonum & malum, quanquam in omnibus maximè ipsum principium ipsum bonum sit. Quidam autem hoc quidem rectè, quod prin-
C cipium: quo verò modo ipsum bonum principium sit, vtrum vt finis, an vt mouens, an vt species, non dicunt. Empedocles quoque absurdè amicitiam facit bonum, cùm hæc principium sit, & vt mouens (siquidem congregat) & vt materia, nam misti pars est. At si etiam eidem accidat, & vt materiæ, principio esse, & vt mouenti, ipsum tamen esse non idem est. Se-
D cundum quod igitur horum, amicitia est? Inconueniens item est, contentionem incorruptibilem esse, cùm hæc ipsa mali natura sit. Anaxagoras autem bonum ponit principium, vt mouens. Mens enim mouet: verùm alicuius gratia mouet: quare alterum: nisi sit, vt nos dicimus: ars enim medendi, quodammodo sanitas est. Inconueniens etiam est, quod non fecerit aliquid bono, mentique contrarium. Porrò nulli eorum, qui ponunt contraria, vtuntur contrariis, si quem inquirere non
E pigeat, & cur quædam corruptibilia, quædam incorruptibilia nemo dicit. Omnia nanque entia, ex eisdem principiis faciũt. Præterea quidam ex non ente faciunt entia: quidam vt hoc non cogantur, vnum cuncta faciunt. Cur item semper generatio erit, quidque generationis causa sit, dicit nemo. At tum illis, qui duo principia faciunt, aliud principalius principium necesse est esse: tum illis, qui species: quia aliud principalius principium est. Cur e-
F nim participauit, aut participat? Et aliis quidem necesse est, sapientiæ ac nobilissimæ scientiæ aliquid contrarium ponere esse, nobis verò minimé. Nihil enim est primo contrarium, quandoquidem cuncta contraria materiam habent, & potentia hæc sunt. Contraria verò ignorantia,